















Das
ΧΡΟΝΙΚΟΝ ΕΠΙΤΟΜΟΝ
der Wiener Handschrift Th. Gr. Nr. XL.

Text und Untersuchung.

Inaugural-Dissertation

zur

Erlangung der Doktorwürde

der

hohen philosophischen Fakultät der Universität Jena

vorgelegt

von

Arthur Pusch

aus Grossporthen.

JENA.

Universitäts-Buchdruckerei G. Neuenhahn.

1908.

Genehmigt von der philosophischen Fakultät der Universität Jena auf Antrag des Herrn Professor Dr. Liebenam.

JENA, den 25. Februar 1908.

Geh. Hofrat Prof. Dr. Winkelmann,
d. Zt. Dekan.

Meinen Eltern gewidmet.

In dem Wiener Codex theolog. Graec. Nr. XL (ol. LXXVII) fol. 252r — 258r befindet sich eine anonyme Chronik unter dem Titel: *Χρονικὸν ἐπίτομον ἀπὸ κτίσεως κόσμου καὶ μέχρι τοῦ νῦν.*

Die Handschrift ist mir von der Verwaltung der Kaiserlichen Hofbibliothek zu Wien gütigst überlassen worden, wofür ich an dieser Stelle nochmals meinen geziemenden Dank ausspreche.

Von den sieben Blättern des Textes ist das letzte nur zum vierten Teile etwa beschrieben. Die Seite hat 34 Zeilen. Breite der Schrift beträgt 189 mm, Höhe 256 mm. Die in gutem Zustande erhaltene Handschrift gehört in die Zeit der späteren, griechischen Minuskel [1]) wegen häufigen Erscheinens von Abkürzungen, ungleicher Höhe der Buchstaben, Setzens der Spiritus und Accente. Die Spiritus sind allerdings z. T. noch eckig, besonders im Beginn eines neuen Satzes, wenn der vokalische Anlaut mit grossem Anfangsbuchstaben geschrieben ist. Die Minuskel des Chronikons liegt demnach ungefähr in der Mitte zwischen jenen beiden von Blass hervorgehobenen Extremen der ältesten Minuskel im 9. und Anfang des 10. Jahrhunderts und der jüngsten im 15. Jahrhundert.

Ueber einzelne Buchstabenformen der Handschrift ist folgendes zu bemerken [2]):

Für *β* wird regelmässig die ältere Minuskelform *u* geschrieben. Bei *u* als Zahlzeichen wird der rechte Strich durch eine Schleife nach unten verlängert *y*. Sehr vielgestaltig erscheint das ε. 1. die kursive Form ε, die in zwei Halbkreise geteilt ist; daraus entsteht 2. durch Schliessen des unteren

1) Blass, Griech. Palaeogr. in Iwan Müllers Handbuch I² 321 ff.; Wattenbach, Anl. zur griech. Palaeogr., 3. Aufl., 55 ff.

2) Vgl. hierzu Blass Tafel II.

Bogens und Verlängern der oberen Hälfte die ältere Minuskelform 6, z. B. 6πι = ἐπί, in Ligatur 6ν = εν, 3. die aufgelöste Form, indem der obere Teil vom unteren getrennt und dieser mit dem vorhergehenden, jener mit dem folgenden Buchstaben verbunden wird, z. B. μετά = μετά, 4. durch Wegfall der unteren Hälfte ein angesetztes Häkchen anstelle des ganzen Buchstabens, z. B. πρι = περί. Ausserdem sind noch von folgenden Buchstaben alte Minuskelformen wahrzunehmen: ζ — ζ, κ — κ, ν — ν, π — ϖ, in Ligatur aufgelöst ϖι = ἐπί, σ — σ, am Schluss eines Wortes c, σσ — σσ, στ — ς, ω — ω. Daneben findet sich auch die Majuskel, deren Erscheinen in der späteren Minuskel überhaupt sehr häufig ist, wie Blass a. a. O. hervorhebt. Sämtliche Eigennamen sind, wenn sie einen neuen Satz einleiten, mit grossen, sorgfältig ausgeführten, roten Anfangsbuchstaben in Majuskelform geschrieben. Ausserdem wird die Majuskelform regelmässig angewendet für γ und η, mitunter auch für δ, ζ, ϑ, κ, ν, ξ. Die Zeichen für weggelassene Silben und Abkürzungen entsprechen im wesentlichen denen, die Blass a. a. O. Tafel III anführt.

Die Abkürzungen kirchlicher Wörter sind durch den Strich darüber gekennzeichnet, wie bereits in den ältesten Uncialcodices [1]). Es kehren folgende z. T. ziemlich häufig wieder [2]):

ἄνο̄ς = ἄνϑρωπος
ϑc̄, ϑῦ = ϑεός, ϑεοῦ
ἰλ̄ῆμ = Ἱερουσαλήμ
ἰc̄, ἰῦ = Ἰησοῦς, Ἰησοῦ
ἰη̄λ = Ἰσραήλ
κc̄, κῦ = κύριος, κυρίου
μῆρ, μρc̄ = μήτηρ, μητρός
οὐνὸς, οὐνο̄ῦ = οὐρανός, οὐρανοῦ
πῆρ, πρc̄ = πατήρ, πατρός

1) Vgl. Blass 316.

2) Eine eingehende Erörterung dieser Formen gibt L. Traube, Nomina sacra, Versuch einer Geschichte der christl. Kürzung, III 25 ff., München 1907.

πν͂α, πν͂ς	=	πνεῦμα, πνεύματος
ϛῤς, ϛρ͂ȣ	=	σταυρός, σταυροῦ
σῆρ, σρ͂ς	=	σωτήρ, σωτῆρος
χ̓ς, χ͂υ	=	Χριστός, Χριστοῦ

In gleicher Weise sind Ableitungen gekürzt, z. B.:

ἀνῖνος	=	ἀνθρώπινος
θκ̓ς	=	θεοτόκος
στρῶθῆναι	=	σταυρωθῆναι
σρῖα	=	σωτηρία
φιλανῖα	=	φιλανθρωπία.

Nicht selten werden auch, wie üblich, Endsilben über anstatt hinter den vorhergehenden Buchstaben geschrieben, z. B. τ^ά, τ^έ, τ^ῆ, τ^ῶ, πολλ^αί, πάντ^ες, μέντ^οι, παρ^θύ = παρθένου, ȣ = ου, τούτȣ, τούτ^ȣ = τούτου, aber auch ȣ^τ = τοῦ u.s.w.

Das Iota subscriptum fehlt zuweilen. Bei Diphthongen am Anfange des Wortes steht der Spiritus öfter über dem ersten Vokal.

Von Interpunktionen findet sich als stärkstes Zeichen am Schlusse eines Abschnittes der Doppelpunkt mit Strich und freiem Raum dahinter, ferner als nächst schwächeres Zeichen der Punkt über der Linie, das Kolon, so fast immer auf den ersten Blättern vor · *καὶ ἐπέζησεν,* und als schwächstes Zeichen das Komma, dessen Einführung nach Blass im 9. Jahrhundert geschah.

Krumbacher[1]) erwähnt, dass im Codex Vindobonensis hist. gr. 99 s. XIV fol. 1—44 der Anfang einer mit dem *Χρονικὸν ἐπίτομον* übereinstimmenden, allerdings unvollständigen Chronik sich findet, die den Titel trägt: *Σύνοψις χρονικὴ ἀπὸ Ἀδὰμ τὴν ἀρχὴν λαβοῦσα καὶ πάσας διεξιοῦσα τὰς ἐπὶ γῆς μεγάλας βασιλείας τούς τε τῆς Κωνσταντινουπόλεως βασιλεῖς καὶ πατριάρχας ἀκριβῶς καταλέγουσα ἕως τῶν χρόνων τῆς βασιλείας Κομνηνοῦ Θεοδώρου τοῦ Λάσκαρι.* Eine spätere Hand

---

1) Geschichte der byzant. Literatur[2] 386. Auch im Cod. Vatic. gr. 433 fol. 244 s. XVI scheint nach Haury vgl. Patzig, Byz. Zeitschrift IV 24 das *Χρονικὸν ἐπίτομον* vorzuliegen.

hat hinzugefügt: *σικελιώτου ἰωάννου* und darüber steht von anderer Hand nochmals *ἰωάννου σικελιώτου.* Herr Professor Dr. Heisenberg war so freundlich, mir seine Abschrift zur Verfügung zu stellen.

Ich gebe zunächst den Text des *Χρονικὸν ἐπίτομον* [1]) und in kleinerer Schrift die Varianten des Cod. Vindob. hist. gr. 99 wieder.

---

1) Ueber die Veröffentlichung von Wirth, Aus oriental. Chroniken (1894) 24 ff. vgl. Krumbacher, Byz. Zeitschr. III 617 ff.; A. Heinrich, Die Chronik des Johannes Sikeliota der Wiener Hofbibliothek. Progr. Graz 1892.

Text.

Χρονικὸν ἐπίτομον ἀπὸ κτίσεως κόσμου
καὶ μέχρι τοῦ νῦν.

Ἀδὰμ ὁ πρῶτος ὑπὸ θεοῦ πλασθεὶς ἄνθρωπος ἐν τῇ ἕκτῃ τῆς κοσμοποιΐας ἡμέρᾳ ὁ καὶ πᾶσι τοῖς ἀλόγοις ζῴοις ὀνόματα ἐπιθεὶς μετὰ τὸ γενέσθαι αὐτὸν ἐτῶν σλʹ ἐγέννησε τὸν Σὴθ καὶ 5 *ἐπέζησεν ἕτερα ἔτη ψʹ.*

Σὴθ γενόμενος ἐτῶν σεʹ ἐγέννησε τὸν Ἐνὼς καὶ ἐπέζησεν ἕτερα ἔτη ψζʹ· οὗτος τοῖς ἄστροις πᾶσιν ὀνόματα τέθεικεν εἰς τὸ γνωρίζεσθαι ὑπὸ τῶν ἀνθρώπων.

Ἐνὼς γενόμενος ἐτῶν ϙϛʹ ἐγέννησε τὸν Καϊνᾶν καὶ ἐπέζησεν 10 *ἕτερα ἔτη ψιεʹ.*

Καϊνᾶν γενόμενος ἐτῶν ϙϛʹ ἐγέννησε τὸν Μαλελεὴλ καὶ ἐπέζησεν ἕτερα ἔτη ψμʹ.

Μαλελεὴλ γενόμενος ἐτῶν ρξεʹ ἐγέννησε τὸν Ἰάρεδ καὶ ἐπέζησεν ἕτερα ἔτη ψλʹ. 15

Ἰάρεδ γενόμενος ἐτῶν ρξβʹ ἐγέννησε τὸν Ἐνὼχ καὶ ἐπέζησεν ἕτερα ἔτη ωʹ.

---

16. Ἰαρεδ.

Überschr. *Ἰωάννου Σικελιώτου σύνοψις χρονικὴ ἀπὸ Ἀδὰμ τὴν ἀρχὴν λαβοῦσα καὶ πάσας διεξιοῦσα τὰς ἐπὶ γῆς μεγάλας βασιλείας τούς τε τῆς Κωνσταντινουπόλεως βασιλεῖς καὶ πατριάρχας ἀκριβῶς καταλέγουσα ἕως τῶν χρόνων τῆς βασιλείας Κομνηνοῦ Θεοδώρου τοῦ Λάσκαρι νδ κε* (= *κεφαλαί*) *μετὰ Ἰωσήφ.* 4—6. *κόσμου ποιήσεως ἡμέρᾳ μετὰ τὸ γενέσθαι ἐτῶν διακοσίων τριάκοντα ἐγέννησεν τὸν Σήθ, τὸν Κάιν καὶ τὸν Ἄβελ καὶ θυγατέρας δύο, Ἀζαρὰμ καὶ Ἀσουάμ· ἦν δὲ γυνὴ τοῦ Ἀδὰμ ἕνα· οὗτος κατὰ κέλευσιν θεοῦ ἔθηκεν ὀνόματα πᾶσι τοῖς τετραπόδοις καὶ πετεινοῖς καὶ ἑρπετοῖς καὶ ἰχθύσι καὶ τοῖς ἑαυτοῦ τέκνοις. ἔζησε τὰ ὅλα αὐτοῦ ἐνναχόσια τριάκοντα.* 7—9. *Σὴθ δὲ ὁ υἱὸς αὐτοῦ εἶχε σοφίαν παρὰ θεοῦ. καὶ κατὰ κέλευσιν αὐτοῦ ἔθηκεν ὀνόματα πᾶσι τοῖς ἄστροις καὶ γράμματα δὲ πρῶτος ἑβραϊκὰ ἐξεῦρε καὶ συνεγράψατο αὐτά. οὗτος ἔλαβε γυναῖκα τὴν ἀδελφὴν αὐτοῦ Ἀσουὰμ* (*καὶ γεν-*?) *όμενος ἐτῶν διακοσίων πέντε ἐγέννησε τὸν Ἐνώς· ἔζησε τὰ ὅλα αὐτοῦ ἔτη ἐννακόσια δέκα.* 10. *Ἐνῶς οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸν κύριον. οὗτος γενόμενος…* 11. *ἔτη ἑπτακόσια δέκα* (?) 12. *ἐτῶν ἑκατὸν* (?) *ἑβδομήκοντα.* 14. *ἐγέννησεν Ἰαρέδ.*

Ἐνὼχ γενόμενος ἐτῶν ρξε' ἐγέννησε τὸν Μαθουσάλα καὶ ἐπέζησεν ἕτερα ἔτη σ', καὶ μετὰ ταῦτα οὐκ ἀπέθανεν, ἀλλὰ ζῶν μετετέθη ὡς εὐαρεστήσας τῷ θεῷ.

Μαθουσάλα γενόμενος ἐτῶν ρξζ' ἐγέννησε τὸν Λάμεχ καὶ 5 *ἐπέζησεν ἕτερα ἔτη ψπβ' ἄχρι δηλονότι τοῦ κατακλυσμοῦ.*

Λάμεχ γενόμενος ἐτῶν ρπβ' ἐγέννησε τὸν Νῶε καὶ ἐπέζησεν ἕτερα ἔτη φλε'· πρῶτος δὲ ἀνθρώπων οὗτος ὁ Λάμεχ πρὸ τοῦ ἰδίου πατρὸς τελευτᾷ θανάτῳ φυσικῷ.

Νῶε γενόμενος ἐτῶν φ' ἐγέννησε τὸν Σὴμ καὶ ἐπέζησεν 10 *ἕως μὲν τοῦ κατακλυσμοῦ ἕτερα ἔτη ρ'· μετὰ δὲ τὸν κατακλυσμὸν ἄλλα πάλιν ἔτη τν'· τῷ γὰρ χ' ἔτει τῆς ζωῆς αὐτοῦ γέγονεν ὁ κατακλυσμός, ὥστε συνάγεσθαι τὰ ἀπὸ κτίσεως κόσμου μέχρι τοῦ κατακλυσμοῦ ἔτη ,βσμβ'.*

Σὴμ γενόμενος ἐτῶν ρα' ἤγουν μετὰ τὸν κατακλυσμὸν ἔτει 15 *δευτέρῳ ἐγέννησε τὸν Ἀρφαξὰδ καὶ ἐπέζησεν ἕτερα ἔτη φ'.*

Ἀρφαξὰδ γενόμενος ἐτῶν ρλε' ἐγέννησε τὸν Καϊνᾶν· οὗτος δὲ ὁ Καϊνᾶν ἐν τῷ ἑβραϊκῷ οὐδ' ὅλως εὑρίσκεται ἐμφερόμενος, ἀλλ' ἀπὸ τοῦ Ἀρφαξὰδ τὸν Σαλὰ γεννηθῆναι οἱ ο' ἡρμήνευσαν καὶ καθεξῆς τοὺς λοιπούς. Ἔοικε δὲ ἀρχῆθεν ἁμαρτῆσθαι τὰ 20 *ἀντίγραφα καὶ διὰ τοῦτο ἔνιοι τῶν χρονογράφων οὔτε αὐτὸν οὔτε τοὺς χρόνους αὐτοῦ ἀριθμοῦσιν. Ὁ μέντοι ἀπόστολος καὶ εὐαγγελιστὴς Λουκᾶς σαφῶς καὶ τοῦ Καϊνᾶν τούτου ὡς υἱοῦ μὲν τοῦ Ἀρφαξάδ, πατρὸς δὲ τοῦ Σαλὰ μνημονεύει ἐν τῇ παρ' αὐτοῦ ἐκτεθείσῃ ἀναποδιστικῇ γενεαλογίᾳ τῇ κατὰ τὸ* 25 *εὐαγγέλιον, ᾧτινι καὶ ἡμεῖς ἑπόμενοι ὡς ἀξιολογωτέρῳ· καὶ τὸν Καϊνᾶν τοῦτον καὶ τοὺς χρόνους αὐτοῦ δεχόμεθα.*

Καϊνᾶν γενόμενος ἐτῶν ρλθ' ἐγέννησε τὸν Σαλά.

Σαλὰ γενόμενος ἐτῶν ρλ' ἐγέννησε τὸν Ἔβερ.

---

2. *ἀλλὰ τῶν* (fehlt eine Zeile). 5. *ἑπτακόσια ὀγδοήκοντα ὄκτω*. 6. *ἐτῶν ρπη'*. 7. *πρὸ δὲ τοῦ*. 9. ... *τὸν Σήμ, τὸν Χὰμ καὶ τὸν Ἰάφεθ*. 10. *ἕως τοῦ κατακλυσμοῦ*. 11. *τῷ δὲ· τῆς αὐτοῦ ζωῆς*. 12. 13. *τὰ ἀπὸ Ἀδὰμ ἕως*. 16. *οὗτος ὁ Καϊνὰν* .... *οὐ ὅλως*. 17. *ἐκφερόμενος*. 18. *γεγεννηθῆναι*. 19. *ἔοικεν ἀρχῆθεν*. 20. *ἔννιοι*. 21—22. *δέχονται καὶ ἀριθμοῦσιν. ὁ μέντοι θεῖος ἀπόστολος καὶ εὐαγγελίστησεν σαφῶς καὶ τοῦ Καϊνὰν*. 23. *μνημονεύων*. 24. *τῇ ἐν τὸ εὐαγγέλιον*. 27. *τὸν Σάλα. οὗτος ὁ Καϊνὰν μετὰ τ(αῦτα)? συνεγράψατο τὴν ἀστρονομίαν, εὑρηκὼς τὰς ἐκ τοῦ* ... (fehlt eine Zeile). *λιθίνη ἐγκεκλυμένη. ἥτις καὶ περίεστι.*

Ἕβερ γενόμενος ἐτῶν ρλγ' ἐγέννησε τὸν Φαλέκ. Ἐπὶ τούτου τοῦ Φαλὲκ διεμερίσθη ἡ γῆ. Ἐπὶ τούτου συνέστη ἡ πυργοποιΐα καὶ ἐμερίσθη ἡ ἕως τότε μία τῶν ἀνθρώπων φωνὴ εἰς γλώσσας καὶ διαλέκτους διαφόρους ἐν ἔτει μετὰ τὸν κατακλυσμὸν φ'.

Φαλὲκ γενόμενος ἐτῶν ρλ' ἐγέννησε τὸν Ῥαγαῦ. 5

Ῥαγαῦ γενόμενος ἐτῶν ρλε' ἐγέννησε τὸν Σερούχ.

Σεροὺχ γενόμενος ἐτῶν ρλ' ἐγέννησε τὸν Ναχώρ. Ἐπὶ τούτου Ἥφαιστος παρ' Αἰγυπτίοις ἐδυνάστευσεν.

Ναχὼρ γενόμενος ἐτῶν οθ' ἐγέννησε τὸν Θαρρά. Ἐπὶ τούτου Κρόνος καὶ Ῥέα κατ' Αἰγυπτίους ἦρξαν. 10

Θαρρὰ γενόμενος ἐτῶν ο' ἐγέννησε τὸν Ἀβραάμ. Ἐπὶ τούτου Ζεὺς ὁ υἱὸς τοῦ Κρόνου καὶ Ἥρα παρὰ (252 v.) παρὰ τοῖς αὐτοῖς Αἰγυπτίοις ἐκράτησαν, οἳ καὶ ἔτεκον Ὄσιριν καὶ Ἶσιν, ἀπὸ γοῦν τοῦ κατακλυσμοῦ ἕως τῆς γεννήσεως Ἀβραὰμ ἔτη ,απ', ἀπὸ δὲ κτίσεως κόσμου ἔτη ,γτ'. Οὗτος Ἀβραὰμ ἐν τῷ οε' τῆς ζωῆς αὐτοῦ 15 ἔτει ἀξιοῦται θείου χρησμοῦ καὶ ἐπαγγελίας κατασχέσεως τῆς γῆς, ἀφ' οὗ καιροῦ μέχρι καὶ ἐπὶ τὴν ἀπὸ Αἰγύπτου διὰ τοῦ Μωϋσέως ἐξέλευσιν τῶν Ἰσραηλιτῶν ἔτη διαγεγόνασιν υλ', καθὼς καὶ αὐτὸς ὁ Μωϋσῆς λέγει ἐν τῇ ἐξόδῳ ῥητῶς καὶ ἀπ' αὐτῶν δὲ τῶν καθεξῆς χρόνων σαφῶς δηλωθήσεται. 20

Ἀβραὰμ μετὰ κε' ἔτος τῆς ἐν Αἰγύπτῳ κατοικήσεως ἤγουν ἑκατοστὸν ἀπὸ τῆς ἑαυτοῦ γεννήσεως ἐγέννησε τὸν Ἰσαάκ· ἐν δὲ τῷ ξθ' ἔτει τῆς ζωῆς Ἀβραὰμ πρὸ τῆς εἰς Αἴγυπτον δηλονότι τούτου ἀφίξεως, ἀπὸ δὲ κτίσεως κόσμου ἔτει ,γτϛ πρῶτος Ἀσσυ-

---

8. Ἥφαιστος. 12. παρὰ doppelt. 13. γοῦν. 14. Gelzer, Africanus II 347 vermutet ,απ[α'] und ,γτ[κγ']. 18. Ἰσραϊλιτῶν.

---

1. ἐτῶν ρλδ'. 1—4. ἐπὶ τούτου διεμερίσθη ἡ γῆ. ἥ τε πυργοποιΐα ἐτολμήθη. ἐμερίσθη ὁμοίως καὶ ἡ ἕως τότε τῶν ἀνθρώπων μία φωνὴ εἰς γλώσσας διαφόρους οβ'. τοσοῦτοι γὰρ ἦσαν οἱ ἀρχηγοὶ τῶν ἐργατῶν τῆς πυργοποιΐας. Ἕβερ δὲ μόνος μὴ συμφωνήσας αὐτῶν τοῖς βουλήμασιν τὴν ἀρχαίαν καὶ πρώτην ἀφείθη ἔχειν διάλεκτον. ἀφ' οὗ καὶ Ἐβραῖοι ἐπωνομάσθησεν. 6. ἐτῶν λβ'. 7. ἐτῶν ρλε'. 8. Ὕφαιστος. 9. Θάρρα. 10. Ῥαῖα παρ' Αἰγυπτίοις. 11. Θάρρα. 15. οὗτος ὁ Ἀβραὰμ ἐτῶν οε' γενόμενος. 17. μέχρι τὴν (?) ἀπό. 19. fehlt λέγει. 22. αὐτοῦ. 22. ἐγέννησε τὸν Ἰσαάκ· τούτῳ τῷ Ἀβραὰμ ἦσαν ἀδελφοὶ Ναχὼρ καὶ Ἀρράν· ὧν ὁ μὲν Ἀρρὰν εἶχεν υἱὸν τὸν Λὼτ καὶ θυγατέρας Μελχᾶν καὶ Σάρραν. ὁ Ναχὼρ δὲ καὶ Ἀβραὰμ ἄγονται γυναῖκας αὐτὰς F? καὶ Λάβαν καὶ Ῥεβέκαν. τῷ δὲ Λάβαν ἦσαν θυγατέρες Λείδα καὶ Ῥαχιήλ. ὁ δὲ Ἀβραὰμ ἄγεται εἰς γυναῖκα τῷ υἱῷ Ἰσαὰκ Ῥεβέκαν διὰ Ἐλεάζαρ τοῦ οἰκέτου αὐτοῦ, τὴν θυγατέρα Βαθουὴλ υἱοῦ αὐτοῦ Ναχώρ. 24. Ἀσυρίων.

ρίων βασιλεύει Βῆλος καὶ διαμένει ἡ τούτου βασιλεία ἔτη ,ατ
ἕως δηλονότι Ὀζίου τοῦ τῶν Ἰουδαίων βασιλέως· τῷ δὲ ρα'
ἔτει πάλιν τοῦ αὐτοῦ Ἀβραάμ, πρώτῳ δὲ τῆς γεννήσεως Ἰσαάκ,
ἀπὸ δὲ κτίσεως κόσμου ,γυκβ', βασιλεύει Σικυωνίων πρῶτος
5 Αἰγιαλεὺς καὶ διήρκεσεν ἡ τούτων βασιλεία μέχρις ἐνάτου ἔτους
τοῦ προφήτου Σαμουήλ.

Ἰσαὰκ γενόμενος ἐτῶν ξ' ἐγέννησε τὸν Ἰακώβ· τῷ δὲ
τρισκαιδεκάτῳ ἔτει τούτου τοῦ Ἰακὼβ ἤγουν ἑβδομηκοστῷ
τρίτῳ τοῦ Ἰσαὰκ ἄρχεται ἡ δυναστεία τῶν Αἰγυπτίων καὶ λήγει
10 αὖθις τῷ ιβ' ἔτει Ὤχου τοῦ Περσῶν βασιλέως διαρκέσασα ἔτη ,αχξγ'.

Ἰακὼβ γενόμενος ἐτῶν πε' ἐγέννησε τὸν Λευί.

Λευὶ γενόμενος ἐτῶν με' ἐγέννησε τὸν Καάθ· τῷ δὲ λη' ἔτει
τούτου τοῦ Καὰθ πρῶτος Ἀργείων βασιλεύει Ἴναχος καὶ διαμένει
ἡ τούτου βασιλεία ἕως ἔτους ιε' τῆς τῶν Ἀμμανιτῶν κατὰ τοῦ Ἰσ-
15 ραὴλ ἐπικρατείας τοὺς πάντας χρόνους φμε'. Παυσαμένου δὲ τοῦ
τῶν Ἀργείων κράτους μετατίθεται ἡ βασιλεία ἐν Μυκήναις καὶ
διαρκεῖ καὶ αὐτὴ ἐπὶ ἕτερα ἔτη σι' μέχρι δηλονότι τῆς τῶν Ἡρα-
κλειδῶν καθόδου, ἔτους ι' τῆς βασιλείας Σαοὺλ καὶ οὐκέτι
ἐβασίλευσεν οὔτε τὸ Ἄργος οὔτε αἱ Μυκῆναι.

20 Καὰθ γενόμενος ἐτῶν ξ' ἐγέννησε τὸν Ἄμραμ.

Ἄμραμ γενόμενος ἐτῶν οε' ἐγέννησε τὸν Μωϋσῆν.

Μωϋσῆς π' ἐτῶν γενόμενος κατὰ πρόσταξιν θεοῦ ἐξάγει τὸν

---

15. τούτω⌣

---

2. fehlt δέ. 4. ἔτει ,γτκβ' βασιλεύει Ἰονίων. 5. ἡ τούτου βασιλεία μέχρι ἐννάτου. 7. Ἰσαὰκ δὲ ... ἐγέννησε τὸν Ἡσαῦ καὶ τὸν Ἰακώβ, fehlt δέ. 8. fehlt τούτου. 10. Ὄχου, διαρκέσασθαι. 11. ἐγέννησεν υἱοὺς καὶ θυγατέρας, εἶχε δὲ γυναῖκας δύο, Λείαν καὶ Ῥαχήλ, τὰς θυγατέρας Λάβαν υἱοῦ Βαθουήλ. ἔσχε δὲ παῖδας Ἰακὼβ ἐκ μὲν Λείας ἓξ ἤγουν Ῥουβίμ, Συμεών, Λευί, Ἰουδά (?), Ἰσάχαν καὶ Ζαβουλῶν, ἐκ δὲ βάλλας τῆς δούλης Ῥαχήλ, Δὰν (?) καὶ Νεφθαλεὶμ καὶ ἐκ Ζελφᾶς τῆς δούλης Λείας Γὰδ καὶ Ἀσέρ (?), ἐκ δὲ Ῥαχὴλ Ἰωσὴφ καὶ Βενιαμίν, τοὺς ὅλους ιβ'· ἐξ ὧν ὠνο(?)μάσθησαν αἱ ιβ' φυλαὶ τοῦ Ἰσραήλ. 12. ἐτῶν μ' (?) 13. fehlt τούτου. 14. ἔ(τει)? Ἀμανιτῶν. 15. ἐπικρατεία ἔτη φ.... διαρκεῖται (?) 17. καὶ διαρκεῖται αὕτη ἐπὶ ἔτη σι'· fehlt δηλονότι. 19. fehlen τὸ und αἱ. 20. 21. Ἄβραν. 21. Μωϋσήν, ὃν ἀπὸ τοῦ ποταμοῦ Νείλου λαβοῦσα Θορμουθὶς ἡ θυγατὴρ Φαραὼ τοῦ βασιλέως Αἰγύπτου, ἀναθρέφεται καὶ δι' ἁπάσης ἀναχθῆναι παιδείας ἐποίησε διὰ (?) τῶν ἐπὶ Αἰγύπτῳ σοφῶν. αὐξηθεὶς δὲ τήν τε μητέρα καὶ τὸ οἰκεῖον ἐγνώριζε γένος. τοσοῦτος δὲ διέπρεπεν ἀρετῇ καὶ λόγῳ, ὥστε στρατηγὸν ὑπὸ τοῦ βασιλέως ἀποδειχθέντα ποτὲ τοὺς αἰθίοπας (?) καταγωνίσασθαι καὶ τὰς αὐτῶν πόλεις ὑπὸ χεῖρα ποιήσασθαι. 22. Μωϋσῆς οὗτος· κατὰ θείαν πρόσταξιν.

λαὸν Ἰσραὴλ ἀπὸ τῆς Αἰγύπτου. Συνάγονται δὲ ἀπὸ κτίσεως κόσμου μέχρι τῆς ἐξ Αἰγύπτου ἀναχωρήσεως τοῦ Ἰσραὴλ τὰ πάντα ἔτη ,γψμα', κατὰ δὲ ἐνίους ,γωις'. Μετὰ δὲ τὸ ἐξαγαγεῖν τὸν λαὸν ἀπὸ Αἰγύπτου καθηγεῖται τούτου Μωϋσῆς ἐν ὅλῃ τῇ κατὰ τὴν ἔρημον ὁδοιπορίᾳ ἔτη μ' καὶ τελευτᾷ ζήσας τὰ ὅλα 5
ἔτη ρκ'.

Ἰησοῦς μετὰ τὸν Μωϋσῆν ὁ τοῦ Ναυῆ ἦρξε τοῦ Ἰσραὴλ ἔτη κζ'. Ὁ δὲ λεγόμενος ἐπὶ Ὠγύγου κατακλυσμὸς ἐγένετο τῷ ιβ' ἔτει Μωϋσέως. Ὁ δὲ Ὤγυγος οὗτος πρῶτος οἰκῆσαι μνημονεύεται τὴν τῶν Ἀθηναίων χώραν καὶ ἄστυ κτίσαι. Ἀπὸ 10
γοῦν τοῦ κατὰ τὸν Ὤγυγον κατακλυσμοῦ ἕως ἐπὶ Κέκροπα τὸν διφυῆ τὸν ὕστερον Ἀθηνῶν βασιλεύσαντα ἔτη σ', ἅτινα πάντα ἀβασίλευτος ἦν ἡ Ἀττική.

Φινεὲς καὶ οἱ πρεσβύτεροι μετὰ Ἰησοῦν τὸν τοῦ Ναυῆ καθηγήσαντο τοῦ Ἰσραὴλ ἔτη λ'. 15

Χουσαραθὰμ ἄρχων Συρίας ὑπέταξε τὸν Ἰσραὴλ ἔτη η'.

Γοθονιὴλ κριτὴς ἔκρινε τὸν Ἰσραὴλ ἔτη μ'· τῷ δὲ ιη' ἔτει αὐτοῦ βασιλεύει πρῶτος Ἀθηνῶν Κέκροψ ὁ διφυὴς καὶ διήρκεσεν ἡ τούτων βασιλεία ἔτη ωος' παυσαμένη ἐν ἔτει κζ' τῆς βασιλείας Μανασσῆ. Τῷ δὲ λθ' ἔτει πάλιν τοῦ αὐτοῦ Γοθονιὴλ ὁ 20
κατὰ Δευκαλίωνα κατακλυσμὸς ἐν Θεσσαλίᾳ συνέβη καὶ ὁ ἐπὶ Φαέθοντος ἐμπρησμὸς ἐν Αἰθιοπίᾳ καὶ ἄλλαι πολλαὶ φθοραὶ τοπικαὶ γεγενῆσθαι (253 r.) ἐρρήθησαν.

---

9. Μωϋσεως. 11. γοὖν.

---

1. fehlt Ἰσραήλ. — ἐξ Αἰγύπτου τέρασι καὶ σημείοις μετὰ υλ' ἔτει τῆς εἰς Αἴγυπτον τοῦ Ἰακὼβ μετοικήσεως. ἦν δὲ τὸ πλῆθος μύρια δύο ξ'. 1—6. συνάγονται μὲν ἀπὸ τοῦ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ ἔτη ,βσμβ', ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἕως τῆς γεννήσεως Ἀβραὰμ ἔτη ,απη', καὶ ἀπὸ τοῦ πρώτου ἔτους Ἀβραὰμ ἕως τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ τῆς ἐξ Αἰγύπτου ἤγουν τῷ ι' ἔτει τοῦ Μωϋσέως ἔτη φε'· ἀπὸ Ἀδὰμ ἕως ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἔτη ,γτλε'. ὁ δὲ Μωϋσὴς καθηγήσατο τὸν Ἰσραὴλ ἐν τῇ ἐρήμῳ ἔτη .... (?) καὶ θνήσκει ἐτῶν ρκ'. 7. Ἰησοῦς ὁ τοῦ Ναυῆ μετὰ Μωϋσὴν ἦρξε. 10. τῆς Ἀθηναίων χώρας. 11. fehlt τοῦ κατά. 11—12. ἕως τοῦ Κέκροπος τοῦ διφυοῦς ὕστερον βασιλεύσαντος Ἀθηνῶν, fehlt ἔτη σ'. 13. ἔμεινεν statt ἦν. Zusatz: οὗτος ὁ Ἰησοῦς ὁ τοῦ Ναυῆ τὸν Ἰορδάνην ποταμὸν πεζῇ μετὰ τῆς κιβωτοῦ καὶ παντὸς τοῦ πλήθους διαπεράσας τὰς πόλεις τῶν Χαναναίων ἁπάσας ἐκπορθεῖ καὶ αὐτοὺς κατασφάττει καὶ διεμέρισε τῷ λαῷ πᾶσαν τὴν χώραν καὶ ἄρξας ἔτη κζ' θνήσκει. 14—15. Φινεὸς καὶ οἱ πρεσβύτεροι αὐτοῦ ἦρξαν τοῦ ὅλου ἔθνους Ἰσραὴλ ἔτη λ'. 16. Ὑσαραθὼμ ... ἔτη ν'. 17. fehlt δὲ. 18. ὁ fehlt. 19. τούτου. 23. γεγεννῆσθαι.

Αἰγλὼμ ἄρχων Μωαβιτῶν ὑπέταξε τον Ἰσραὴλ ἔτη ιη'.
Ἀὼδ καὶ Σεμεγαρ ἔκριναν τὸν Ἰσραὴλ ἔτη π'.
Ἰεβουσσαῖοι ὑπέταξαν τὸν Ἰσραὴλ ἔτη κ'.
Δεβώρα καὶ Βαρὰκ ἔκριναν τὸν Ἰσραὴλ ἔτη μ'.
5 *Ὠρὴβ καὶ Ζὴβ ἔθνος Μαδιναίων ὑπέταξαν τὸν Ἰσραὴλ ἔτη ζ'.*
Γεδεὼν ἔκρινε τὸν Ἰσραὴλ ἔτη μ'.
Ἀβιμέλεχ υἱὸς Γεδεὼν ἐκ παλλακίδος ἔκρινεν ἔτη γ'.
Θῶλα ἔκρινε τὸν Ἰσραὴλ ἔτη κγ'.
Ἰαεὶρ ὁ Γαλααδίτης ἔκρινε τὸν Ἰσραὴλ ἔτη κβ'.
10 *Ἀμμανῖται ἔθνος ὑπέταξαν τὸν Ἰσραὴλ ἔτη ιη'.*
Ἰεφθάε ἔκρινε τὸν Ἰσραὴλ ἔτη ς'.
Ἀβισᾶ ὁ καὶ Ἐσεβὼν ἔκρινε τὸν Ἰσραὴλ ἔτη ζ'.
Ἔλων ἔκρινε τὸν Ἰσραὴλ ἔτη ς'.
Ἀβδὼν ὁ καὶ Λαβδὼν ἔκρινε τὸν Ἰσραὴλ ἔτη η'.
15 *Φυλιστιεὶμ ἀλλόφυλοι ὑπέταξαν τὸν Ἰσραὴλ ἔτη μ'· κατὰ τούτους δὲ τοὺς χρόνους Σιβύλλα ἡ ἐν Δελφοῖς ἐχρησμολόγει.*
Σαμψὼν ἔκρινε τὸν Ἰσραὴλ ἔτη κ'.
Ἠλεὶ ὁ ἱερεὺς ἔτη μ' κατὰ τὸ ἑβραϊκόν, κατὰ δὲ τοὺς ο' ἔτη κ'. Κατὰ τούτους δὲ τοὺς χρόνους ὁ πρὸς τοὺς Τρῶας
20 *πόλεμος συνέστη τοῖς Ἕλλησι καὶ ἡ Ἴλιος ἑάλω. Ἐπὶ τούτου τοῦ Ἠλεὶ καὶ ἡ κιβωτὸς παρελήφθη ὑπὸ τῶν ἀλλοφύλων ἐν τῷ πολέμῳ, ὅπερ μαθὼν ὁ Ἠλεὶ καὶ τὴν ἀπὸ τῆς λύπης πληγὴν μὴ ἐνεγκὼν ἔπεσε παραυτίκα εἰς τοὔδαφος καὶ ἀφῆκε τὴν ψυχήν.*
Μετὰ ταῦτα ἀναρχία κατεῖχε τοὺς Ἑβραίους καὶ εἰρήνη
25 *πρὸς τοὺς ἀλλοφύλους ἔτη λ'. Ἐν τούτοις τοῖς χρόνοις Ὅμηρος ὁ ποιητὴς ἐγνωρίζετο.*

---

9. *Ἰαὴρ*? 18. *Ἠλει̅.* 20. *ἡ ἱ λί̊;* *ἡ* und *ἱ* nachgebessert, zw. *ι* u. *λ* unleserlicher Buchstabe. 24. *M* rot, verblasst.

---

1. *ὁ ἄρχων τῶν.* 2. *Βὼδ .... τὸν Ἰσραὴλ καὶ αὐτοί.* 3. *Ἱεβουσαῖοι ἄλλο ἔθνος.* 4. *Δεβόρα, ἔτη π'.* 5. *Ὡρὴβ ... Ἡμαδιναῖοι.* 6. *... τὸν Ἰσραὴλ καὶ αὐτὸς ὡς κριτής.* 7. *ὁ υἱὸς αὐτοῦ ἐκ παλλακίδος ἔκρινε τὸν Ἰσραὴλ ἔτη γ'.* 8. *Φωλᾶ ὁ υἱὸς Φοία.* 9. *Γαλαδίτης ... τὸν Ἰσραὴλ καὶ αὐτός.* 10 fehlt. 11. *Ἱεφθὰ .... καὶ αὐτὸς ἔτη ε'* (?) 12—13 fehlen. 14. *Βδὼν ὁ καὶ Λαβδὼν ὁ Φαραθωνίτης.* 15. *Φιλιστιεὶμ ἀλλόφυλος ὑπέταξε.* 16. fehlt *δὲ.* 17. Zusatz: *οὗτος ὁ Σαμψὼν ἐπάταξε τὸν Φιλιστιεὶμ ἐν σιαλγῶνι ὄνου καὶ ἄλλοτε ἐν ῥαύδῳ καὶ αὖθις ἐν ἀλώπεξι καὶ ὕστερον οἴκου συμπτώματι, ἐν ᾧ καὶ αὐτὸς θνήσκει.* 18. *Ἐλεὶ ὁ ἱερεὺς κατὰ μὲν τοὺς ἔτη μ'.* 19. Der Satz: *Κατὰ .... ἑάλω* fehlt. 21. *τοῦ Ἠλεὶ* fehlt; *παρὰ τῶν ἀλοφύλων παρελείφθη.* 23. *ἐνεικῶν.* 24. Der Satz bis *ἔτη λ'* fehlt. 25. *ἐπὶ τούτου καὶ Ὅμηρος.*

Σαμουὴλ ὁ τὴν ἀρχιερωσύνην τοῦ Ἠλεὶ διαδεξάμενος ἐδίκασε τῷ λαῷ Ἰσραὴλ ἔτη κ'. Ἐπὶ τούτου ἡ κιβωτὸς ἀπελύθη πάλιν παρὰ τῶν ἀλλοφύλων ἐπιγνόντων ὀργὴν θεοῦ πρὸς αὐτοὺς διὰ τὴν ἐκείνης κατάσχεσιν. Ἥτις καὶ εἰς ζεῦγος βοῶν ἐπιτεθεῖσα δίχα τοῦ ἄγοντος αὐτομάτως ἀπήχθη πρὸς 5 τοὺς Ἑβραίους.

Σαοὺλ πρῶτος ἐβασίλευσε τοῦ Ἰσραὴλ ἔτη μ'.

Δαυὶδ ἐβασίλευσε τοῦ Ἰσραὴλ ἔτη μ'. Ἐπὶ τούτου Ἡσίοδος ὁ ποιητὴς ἤκμαζεν.

Σολομὼν ἐβασίλευσε τοῦ Ἰσραὴλ ἔτη μ'. 10

Ῥοβοὰμ ἐβασίλευσεν ἔτη ιζ'.

Ἀβιὰ ἐβασίλευσεν ἔτη γ'.

Ἀσὰ ἐβασίλευσεν ἔτη μα'.

---

7. Σα ου̕λ, zw. α u. ου ist μ, zw. ου u. λ ist η getilgt. Σ rot, verblasst. 8. Δᾱδ.

---

2. ἐδίκασε τὸν Ἰσραήλ. 3. ἀλοφύλων. 4. Die Worte διὰ τὴν ... Ἑβραίους fehlen; Zusatz: γίνονται οὖν ἀπ' ἀρχῆς ἐξόδου τῶν Ἰσραὴλ ἐξ Αἰγύπτου ἕως ἀρχῆς βασιλείας Σαοὺλ υἱοῦ Κῖς ἔτη χλζ'. 7. Σαοὺλ πρῶτος χρίεται ὑπὸ Σαμουὴλ βασιλεὺς κατὰ θείαν πρόσταξιν υἱὸς Κῖς, φυλῆς Βενιαμίτιδος, ἐκ πόλεως Γαβάμ. οὗτος συντόμος (-ως?) ἀθετήσας τὰς ἐντολὰς τοῦ θεοῦ ἐξέπεσε τῆς βοηθείας αὐτοῦ καὶ τῆς βασιλείας. καὶ χρίεται μὲν ὑπὸ Σαμουὴλ κατὰ θείαν ἀποκάλυψιν Δαυὶδ ὁ προφήτης καὶ βασιλεύς. ὕστερον δὲ ὁ αὐτὸς Σαοὺλ ὑπὸ ἐθνῶν σὺν τοῖς παισὶ κατασφάττεται ἐν τῷ πολέμῳ βασιλεύσας ἐν τῷ Ἰσραὴλ ἔτη μ'. 8—9. Δαυὶδ ὁ προφήτης βασιλεύει ἐπὶ πάντα τὸν Ἰσραὴλ καὶ Ἰούδαν ἔτη μ' ἤγουν ἐν μὲν Χεβρὼρ ἔτη ἑπτά, ἐν δὲ παντὶ τῷ λαῷ ἔτη λγ'. καὶ ἐποίησε τὸ εὐθὲς (?) ἐν τελείᾳ καρδίᾳ εὐαρεστήσας τῷ θεῷ. ἐπὶ τούτου ὁ Τρωικὸς πόλεμος ἐτελέσθη καὶ ἡ Ἥλιος ἑάλω. ἐπὶ τούτου ἦσαν προφῆται Σαμουήλ, Νάθαν καὶ Γάδ. ἐπὶ τούτου καὶ Ἡσίοδος ὁ ποιητὴς ἤκμασε. 10. Σολομὼν ὁ υἱὸς Δαυὶδ ἔτη μ'. οὗτος ἔσχεν ἀπὸ θεοῦ σοφίαν καὶ φρόνησιν ὑπὲρ πάντα ἄνθρωπον καὶ ἐποίησε τὸ εὐθές, ἀλλ' οὐκ εἰς τέλος ᾠκοδόμησε καὶ ναὸν ἐν Ἱερουσαλήμ. 11. Ῥοβοὰμ ὁ υἱὸς αὐτοῦ ἔτη ιζ'. ἐπὶ τούτου διεσχίσθη ἡ τοῦ Ἰσραὴλ καὶ τοῦ Ἰούδα βασιλεία καὶ κατελείφθησαν μετ' αὐτοῦ μὲν ἐν Ἱεροσολυμοῖς φυλαὶ δύο, Ἰούδα καὶ Βενιαμίν, τῷ δὲ δούλῳ Σολομῶντος τὸν (τῷ) Ῥοβοὰμ συναπεστάτησαν αἱ λοιπαὶ δέκα φυλαὶ καὶ κατῴκησαν ἐν Σαμαρείᾳ. οὗτος δὲ ὁ Ῥοβοὰμ ἐποίησε τὸ πονηρόν. ἐπὶ τοῦ προφήτου Ἀχίας ὁ Σολομὼν καὶ Σαμαίας καὶ Ἀδδῶ. 12. Ἀβιὰ ὁ υἱὸς αὐτοῦ ἔτη γ'. καὶ οὐκ ἦν ἡ καρδία αὐτοῦ τελεία ὡς Δαυίδ, ἀλλ' ἐπορεύθη ἐν ταῖς ἁμαρτίαις τοῦ πατρὸς αὐτοῦ. 13. Ἀσὰ ὁ υἱὸς αὐτοῦ ἔτη μα'. οὗτος ἐποίησε μὲν τὸ εὐθές, ἀλλ' ἔτι ἦν τὰ ὑψηλά. ἐπὶ τοῦτο προφῆται Ἀζαρίας, Ἀδᾶδ καὶ Ἀναμι ... σαφὰτ ὁ υἱὸς αὐτοῦ ἔτη κε'. καὶ οὗτος ἐποίησε τὸ εὐθές, ἀλλ' ἔτι ἦν τὰ ὑψηλά.

Ἰωσαφὰτ ἐβασίλευσεν ἔτη κε'. Ἐν τούτοις δὲ τοῖς χρόνοις Ἠλιὰς ὁ προφήτης ἐθαυματούργει σὺν τῷ Μιχαίᾳ καὶ μετ' αὐτοὺς εὐθὺς Ἐλισσαῖος.

Ἰωρὰμ ἐβασίλευσεν ἔτη η'.

5 Ὀχοζίας ἐβασίλευσεν ἔτος ἕν.

Γοθολία ἡ μήτηρ Ὀχοζίου ἐβασίλευσεν ἔτη ζ'.

Ἰωὰς ἐβασίλευσεν ἔτη μ'. Τῷ η' ἔτει τῆς τούτου βασιλείας Λυκοῦργος Λακεδαιμόνιος ἐνομοθέτει.

Ἀμεσίας ἐβασίλευσεν ἔτη κθ'.

10 Ὀζίας ὁ καὶ Ἀζαρίας ἐβασίλευσεν ἔτη νβ'. Ἐν τούτοις τοῖς καιροῖς ἐπροφήτευον Ἀμώς, Ἡσαΐας καὶ Ἰωνᾶς. Ἀπὸ δὲ τοῦ μβ' ἔτους τῆς τούτου βασιλείας συνέβη γενέσθαι τὴν θέσιν τῶν ὀλυμπιάδων.

Ἰωαθὰμ ἐβασίλευσεν ἔτη ις'.

15 Ἄχαζ ἐβασίλευσεν ἔτη ις'. Τότε δὲ καὶ Ῥωμύλος ὁ τὴν μεγάλην καὶ περιβόητον Ῥώμην κτίσας ἦρχε Ῥωμαίων. Κτισθῆναι δὲ τὴν πόλιν ταύτην ὑπὸ τούτου φασὶ τῷ γ' ἔτει περαιουμένῳ τῆς ἕκτης ὀλυμπιάδος τῇ πρὸ ια' καλανδῶν Μαΐων συνόδου οὔσης ἐκλειπτικῆς τῆς θ' τοῦ φαρμουθὶ μηνὸς ἱσταμένου μεταξὺ 20 δευτέρας ὥρας καὶ τρίτης.

Ἐζεκίας ἐβασίλευσεν ἔτη κθ'.

---

5. Ὀχο ζιας, zw. o u. ζ ist radiert. 19. ἐκληπτικῆς. 21. Ἰζεκίας.

1—3 fehlen. 4. Ἰωρὰμ ὁ υἱὸς αὐτοῦ ἔτη ὀκτὼ καὶ ἐποίησε τὸ πονηρόν. 5. Ὀχοζίας ὁ υἱὸς αὐτοῦ ἔτος ἓν καὶ ἐποίησεν τὸ πονηρόν. 6. Γοθολίας ὁ υἱὸς αὐτοῦ ἔτη ζ' καὶ ἐποίησε τὸ πονηρόν. 7—8. Ἰωὰς Ὀχοζίου ἔτη μ', οὗτος ἐποίησε τὸ εὐθὲς ἕως ἔζη ὁ Ἰωδαὲ ὁ ἀρχιερεύς, ὃς αὐτὸν τοῦ θανάτου ἐρρύσατο. μετὰ δὲ τὸν θάνατον τοῦ Ἰωδαὲ ἐποίησε τὸ πονηρόν. 9. Μεσίας ὁ υἱὸς αὐτοῦ ἔτη κθ' καὶ ἐποίησεν ἐν ἀρχῇ τὸ εὐθές, ἀλλ' οὐχ ὡς Δαυίδ. ἔτι γὰρ ὁ λαὸς ἐθυσίαζεν ἐν τοῖς ὑψηλοῖς, ἐπατάχθη δὲ ὑπὸ τῶν ἐχθρῶν αὐτοῦ. 10. Ζαρίας ὁ καὶ Ὄζιας ὁ υἱὸς αὐτοῦ ἔτη νβ' καὶ ἐποίησε τὸ εὐθὲς ἐν ἀρχῇ· πλὴν τὰ ὑψηλὰ οὐκ ἐξῆγε· διὸ καὶ ἐλεπρώθη. τούτου προφῆται. 11. τοῦ μη'. 12. τῶν ὀλυμπίων. 14. Ἰωαθὰμ ὁ υἱὸς αὐτοῦ ἔτη δέκα ἓξ καὶ ἐποίησε τὸ πονηρόν. 15—18. Χὰζ ὁ υἱὸς αὐτοῦ ἔτη ις'. ἐποίησε καὶ οὗτος τὸ πονηρόν. τότε δὲ καὶ Ῥῶμος καὶ Ῥώμυλος οἱ .... κτίσαντες ἦρχον. .... ὑπὸ τούτων .... Die Worte von τῇ πρὸ bis τρίτης fehlen. 21. Ἐζεκίας ὁ υἱὸς αὐτοῦ ἔτη κθ' καὶ ἐποίησε τὸ εὐθὲς ὡς Δαυὶδ τελείως. οὗτος καθεῖλε τὸν χαλκοῦν ὄφιν, ὃν ἐκρέμασε Μωϋσῆς. ἐπὶ τούτου Σεναχερεὶμ καὶ Ῥαψάκης οἱ Ἀσύριοι ἐπατάχθησαν κατὰ τοῦ θεοῦ βλασφημίσαντες, ἐν μιᾷ δὲ νυκτὶ ἄγγελος ἐξελθὼν ρπε' χιλιάδας ἀνεῖλεν. οὗτος ποτὲ νοσήσας καὶ μέλλων θνήσκειν δάκρυσι τὸν θεὸν ἐξιλεώσατο καὶ ἔλαχε διὰ τοῦ προφήτου ἔτη ια'.

Μανασσῆς ἐβασίλευσεν ἔτη νε΄. Ἐπὶ τούτου ἐκτίσθη τὸ Βυζάντιον, ἡ νῦν Κωνσταντινούπολις.

Ἀμὼς ἐβασίλευσεν ἔτη β΄.

Ἰωσίας ἐβασίλευσεν ἔτη λα΄. Ἐπὶ τούτων προεφήτευον Ἱερεμίας καὶ Σοφονίας. 5

(253 v.) *Ἰωάχαζ ἐβασίλευσε μῆνας γ΄.*

Ἐλιακεὶμ ἐβασίλευσεν ἔτη ιβ΄.

Ἰεχονίας ἐβασίλευσε μῆνας γ΄.

Σεδεκίας ἐβασίλευσεν ἔτη ια΄. Εἰς τοῦτον κατέληξεν ἡ βασιλεία τῶν Ἰουδαίων ἀρξαμένη ἀπὸ Σαοὺλ καὶ διαρκέσασα τὰ πάντα 10 *ἔτη φιε΄. Οὗτος γὰρ ὁ Σεδεκίας ὑπὸ Ναβουχοδονόσορ τοῦ βασιλέως ἐν τῷ πολιορκηθῆναι ἁλοὺς καὶ ἐκτυφλωθεὶς αἰχμάλωτος σὺν τῷ λαῷ παντὶ ἀπηνέχθη εἰς Βαβυλῶνα, τῆς τε πόλεως τῶν Ἱεροσολύμων καταστραφείσης καὶ αὐτοῦ τοῦ θεσπεσίου ναοῦ πυρποληθέντος ὑπὸ Ναβουζαρδάν, ἀρχθέντος μὲν οἰκοδομεῖσθαι* 15 *ἀπὸ τοῦ τετάρτου ἔτους τῆς βασιλείας Σολομῶνος καὶ ἄχρις ὅλου τοῦ ἑνδεκάτου ἔτους τελειωθέντος, διαρκέσαντος δὲ μετὰ τὸν τέλειον ἀπαρτισμὸν ἄχρι τῆς διὰ πυρὸς ταύτης ἀπωλείας ἔτη υκδ΄. Οἱ μὲν οὖν Ἰουδαῖοι χρόνοις ὕστερον ἑβδομήκοντα ἐπὶ Δαρείου τοῦ Περσῶν βασιλέως ἀπελύθησαν τῆς αἰχμαλωσίας* 20 *καὶ ἀναχθέντες εἰς Ἱεροσόλυμα τήν τε πόλιν καὶ τὸν ναὸν αὖθις ἀνενεώσαντο.*

Ναβουχοδονόσορ δὲ μετὰ τὸ δουλώσασθαι Ἰουδαίους ἐβασί-

---

1. *Μανασσῆς ὁ υἱὸς αὐτοῦ ἔτη νε΄ καὶ ἐποίησε τὸ πονηρόν. οἷα γὰρ κατέσκαψεν Ἑζεκίαν, οὗτος ἀνήγειρεν, ὥστε δι᾽ αὐτοῦ παθεῖν τὴν Ἱερουσαλὴμ ὡς Σαμαρίαν. διὸ καὶ αἰχμάλωτος ἀπήχθη εἰς Βαβυλῶνα· ἀλλ᾽ ἐν τῇ αἰχμαλωσίᾳ μετανοήσας ἐπέστρεψεν ὁ θεὸς εἰς Ἱερουσαλήμ· καὶ πάλιν ἀνελάβετο τῆς βασιλείας μετανοῶν καὶ διδάσκων τὸν λαόν. ἐπὶ τούτου ....* 3. *Ἀμὼς ὁ υἱὸς αὐτοῦ ἔτη β΄ καὶ ἐποίησε τὸ πονηρόν, ὃν καὶ ἀνεῖλον οἱ παῖδες αὐτοῦ.* 4. 5. *Ἰωσίας ὁ υἱὸς αὐτοῦ ἔτη λβ΄ καὶ ἐποίησε τὸ εὐθὲς ἐν π...ας ὁδῷ Δαυίδ. ἐπὶ τούτου προφῆται Ἱερεμίας καὶ Σοφονίας καὶ Ὀλγᾶ ἡ προφήτης.* 6. *Ἰωάχαζ ὁ υἱὸς αὐτοῦ μῆνας γ΄ καὶ ἐποίησε τὸ πονηρόν, ὃν καὶ μετέστησε Φαραῶ Νεχαώ.* 7. *Ἐλιακεὶμ ὁ υἱὸς Ἰωσίου ὁ καὶ Ἰωακεὶμ ἔτη ια΄ καὶ ἐποίησε τὸ πονηρόν.* 8. *Ἰωακεὶμ ὁ καὶ Ἱεχωνιὰς υἱὸς αὐτοῦ μῆνας γ΄. οὗτος ἐποίησε τὸ πονηρὸν καὶ ἀπήχθη εἰς Βαβυλῶνα αἰχμάλωτος.* 9. *Ναυθανὰν ὁ υἱὸς αὐτοῦ ἔτη ια΄, ὃν ὁ Ναβουχοδονοσὸρ κατέλειψεν ἐν Ἱερουσαλήμ, εἰς τοὺς καταλυφέντας (καταλειφθέντας?) Ἰουδαίους βασιλέα μετονομάσας αὐτὸν Σεδεκίαν.* — Im folgenden wird Codex 99 nicht mehr berücksichtigt, da die Uebereinstimmung mit dem *Χρονικὸν ἐπίτομον* nur bis hierher reicht.

λευσεν ἕτερα ἔτη κη'. Ἦν γὰρ καὶ πρὸ τούτου βασιλεύων ἔτη ιε'. Κατὰ δὲ τοὺς χρόνους τούτους οἱ ἑπτὰ πρῶτοι φιλόσοφοι ἐγνωρίζοντο, ὧν καὶ τὰ ἀποφθέγματα ὥσπερ χρησμούς τινας καὶ θείας ἀποφάσεις οἱ ἄνθρωποι δεχόμενοι ἄληστα διηνεκῶς
5 εἶχον ἐν ἑαυτοῖς περιφέροντες· χάριν δὲ εἰδήσεως γνωριστέον καὶ ἐκείνους καὶ ἐκεῖνα·

Σόλων Ἐξηκεστίδου Ἀθηναῖος· Μηδὲν ἄγαν. Χίλων Δαμαγήτου Λακεδαιμόνιος· Γνῶθι σαυτόν. Κλεόβουλος Εὐαγόρου Λίνδιος· Μέτρον ἄριστον. Πίττακος Ὕρρα Μιτυληναῖος· Και-
10 ρὸν γνῶθι. Περίανδρος Κυψέλλου Κορίνθιος· Μελέτη τὸ πᾶν. Βίας Τευτάμου Πριηνεύς· Οἱ πλεῖστοι κακοί. Θαλῆς Ἐξαμήλου Μιλήσιος· Ἐγγύα, παρὰ δ' ἄτα.

Ἰλοαρούδαμος υἱὸς τοῦ Ναβουχοδονόσορ κατὰ Χαλδαίους ἐβασίλευσε μετὰ τελευτὴν τοῦ πατρὸς αὐτοῦ ἔτη δ'.
15 Νιρικασσόδαρος ὁ γαμβρὸς αὐτοῦ ἀνελὼν ἐκεῖνον ἐβασίλευσεν ἔτη δ'. Μετ' αὐτοῦ δὲ καὶ Κῦρος εὐθὺς συνῆρξεν ὁ πρῶτος τότε βασιλεύσας Περσῶν.

Ναβόνιδος ἐβασίλευσεν ἔτη ιγ'. Καὶ τούτῳ συνῆρχεν ὁ Κῦρος μέχρι τοῦ ιγ' ἔτους, ἔπειτα χειρωσάμενος αὐτὸν καὶ τε-
20 λείως ὑποτάξας Ἀσσυρίους ἐβασίλευσε μόνος.

Κῦρος ὁ πρῶτος Περσῶν βασιλεὺς μετὰ τὸ καταλῦσαι τὴν τῶν Βαβυλωνίων βασιλείαν ἐκράτησε μόνος ἕτερα ἔτη ιγ', τὰ γὰρ πάντα τριάκοντα ἐβασίλευσεν ἔτη, ἀφ' οὗ τὴν ἀρχὴν Δαρεῖον παραλαβόντα τὸν Μῆδον τὸν παρ' Ἕλλησιν Ἀστυάγην μετήνεγκεν
25 εἰς Πέρσας τὴν τῶν Μήδων ἀρχὴν κρατήσασαν ἀπὸ Ἀρβάκου ἔτη σνθ'· ὡσαύτως καὶ Κροῖσον ὕστερον τὸν Λυδῶν βασιλέα νικήσας καὶ χειρωσάμενος ἔπαυσε καὶ τὴν Λυδῶν βασιλείαν κρατήσασαν καὶ αὐτὴν ἀπὸ τῆς α' ὀλυμπιάδος ἔτη σκθ'. Τελευταῖον δὲ καὶ Ναβόνιδον ὡς προείρηται τὸν Βαβυλώνιον
30 δουλωσάμενος ἔσβεσε καὶ τὴν τῶν Ἀσσυρίων ἤτοι Χαλδαίων ἀρχὴν καὶ μόνος τοῦ λοιποῦ τῆς ὅλης ἦρχεν Ἀσίας Κῦρος ὁ Περσῶν βασιλεύς.

Καμβύσης ὁ υἱὸς αὐτοῦ ἐβασίλευσεν ἔτη ζ', ὁ καὶ δεύτερος Ναβουχοδονόσορ παρ' Ἑβραίοις ἐπικληθείς. Ἐπὶ τούτου τὰ
35 κατὰ Ἰουδὶθ καὶ Ὀλοφέρνην ἱστοροῦσι γεγενῆσθαι. Οὗτος ὁ

---

9. Λινδ^ο. 12. Μιλίσιος. 13. Ἰλοα —, ο durchgestrichen. 16. 21. 31. Κύρος. 18. Ν^υαβόνιδος. 21. καταλύσαι. 35. Ὀλοφέρνην.

Καμβύσης καὶ τὴν Αἴγυπτον προσελάβετο. Κατὰ τούτους τοὺς καιροὺς λόγος ἀκμάσαι καὶ Πυθαγόραν φιλόσοφον τὸν Σάμιον.

Πατιζίθης καὶ Σμέρδις ἐβασίλευσαν μῆνας ζ'.

Δαρεῖος ὁ Ὑστάσπου ἐβασίλευσεν ἔτη λς'. Οὗτος τῷ β' ἔτει τῆς βασιλείας αὐτοῦ ἀνῆκε τῆς αἰχμαλωσίας τοὺς Ἰουδαίους 5 *καὶ ἀποκαταστήσας* (254 r.) *αὐτοὺς εἰς τὰ ἴδια τὸν ναὸν ἀνοικοδομηθῆναι παρεσκεύασε. Τῷ δὲ ι' ἔτει τῆς τούτου βασιλείας κατέλυσαν οἱ Ῥωμαῖοι τὴν οἰκείαν βασιλείαν κρατήσασαν ἀπὸ μὲν Ῥωμύλου καὶ κτίσεως Ῥώμης ἔτη σμγ', ἀπὸ δὲ Αἰνείου πρότερον ἤγουν τῆς ἁλώσεως Τροίας ἔτη χοδ'. Καὶ λοιπὸν κατεστή-* 10 *σαντο ὑπατείαν, ἥτις καὶ αὐτὴ διήρκεσε μέχρις Ἰουλίου Καίσαρος.*

Ξέρξης ὁ Δαρείου ἐβασίλευσεν ἔτη κ'.

Ἀρτάβανος ἐβασίλευσε μῆνας ζ'.

Ἀρταξέρξης ὁ Μακρόχειρ ἐβασίλευσεν ἔτη μ'. Ἐπὶ τούτου τὰ κατὰ τὴν Ἐσθὴρ ἱστορεῖται γενέσθαι. 15

Ξέρξης ἐβασίλευσε μῆνας β'.

Δαρεῖος ὁ Νόθος ἐβασίλευσεν ἔτη ιθ'. Κατὰ τούτους τοὺς καιροὺς Δημόκριτος ὁ Ἀβδηρίτης καὶ Σωκράτης ὁ Ἀθηναῖος ἄμφω φιλόσοφοι ἐγνωρίζοντο· σὺν αὐτοῖς δὲ καὶ ὁ Κῷος Ἱπποκράτης ὁ τὴν ἰατρικὴν ἐπιστήμην ἐκδεδωκώς. 20

Ἀρταξέρξης ὁ Δαρείου ὁ Μνήμων ἐβασίλευσεν ἔτη μα'. Ἐπὶ τούτου Πλάτων ὁ φιλόσοφος ἤκμαζεν.

Ἀρταξέρξης ὁ καὶ Ὦχος ἐβασίλευσεν ἔτη κς'. Ἐπὶ τούτου ἐπαύθη ἡ δυναστεία τῶν Αἰγυπτίων, ἀρξαμένη μὲν ἀπὸ ιγ' ἔτους Ἰακὼβ τοῦ πατριάρχου, λήξασα δὲ τῷ ιβ' ἔτει τῆς τοῦ 25 *Ὤχου τούτου βασιλείας καὶ διαρκέσασα ἔτη ,αχξγ'.*

Ἄρσης ὁ Ὤχου ἐβασίλευσεν ἔτη

Δαρεῖος ὁ Ἀρσάμου ἐβασίλευσεν ἔτη Ἐπὶ τούτου Ἀριστοτέλης ὁ φιλόσοφος ἤκμαζε καὶ Σπεύσιππος καὶ Ξενοκράτης φιλόσοφοι καὶ αὐτοί. 30

Ἀλέξανδρος ὁ Μακεδὼν μετὰ τὸ ἀνελεῖν τὸν Δαρεῖον τοῦτον καὶ καθελεῖν τελείως τὴν ἀρχὴν τῶν Περσῶν ἐβασίλευσεν ἔτη η'. Καὶ πρὸ τούτου γὰρ ἦν βασιλεύων καὶ ὑπαγόμενος τὴν Ἀσίαν ἔτη δ', ὡς ὁμοῦ τὰ τῆς βασιλείας αὐτοῦ πάντα ἔτη ιβ'. Ἐν οἷς ἔφθασεν ὑποτάξας καὶ δουλωσάμενος Ἑλλήνων μὲν φύ- 35 *λας ιγ', βαρβάρων δὲ ἔθνη κβ'. Καὶ ἁπλῶς συμπάσης Ἀσίας*

---

3. *Σμέρδης*. 27. 28. Die Zahlen der Jahre fehlen.

καὶ Αἰγύπτου διὰ βραχέων ἐγκρατὴς πολέμου νόμῳ γενόμενος ἐτελεύτησε δὲ ἐν Περσίδι κατ' αὐτὴν τὴν Βαβυλῶνα ἐν ἔτει ἀπὸ κτίσεως κόσμου ,ερξζ'. Μετὰ δὲ τὴν Ἀλεξάνδρου τελευτὴν διενείμαντο ἑαυτοῖς τὰς ὑπαχθείσας ἐκείνῳ χώρας καὶ πόλεις 5 *ἁπάσας οἱ ἐκείνου στρατηγοὶ καὶ σωματοφύλακες, καὶ τῶν μὲν ἄλλων τῆς Ἀσίας μερῶν ἄλλοι ἐκυρίευσαν, οὐ μικρᾶς τινος χώρας οὐδὲ ὀλίγων τινῶν ἐθνῶν ἕκαστος ἄρχων, ἀλλ' ὅλης βασιλείας ἐπιβατεύων καὶ πράγματι καὶ ὀνόματι. Αἰγύπτου δὲ καὶ Ἀλεξανδρείας καὶ τῶν περὶ αὐτὰς μετὰ Ἀλέξανδρον ἐβασί-* 10 *λευσαν οἵδε, ἐπειδὴ καὶ αὕτη τῶν ἄλλων πασῶν ἐπικρατεστέρα καὶ διαρκεστέρα ἡ βασιλεία συνετηρήθη.*

Πτολεμαῖος πρῶτος ὁ Λάγου σωματοφύλαξ ὢν Ἀλεξάνδρου ἐβασίλευσεν Αἰγύπτου ἔτη μ'.

Πτολεμαῖος ὁ Φιλάδελφος ἐβασίλευσεν ἔτη λη'. Ἐπὶ τούτου 15 *αἱ Ἑβραϊκαὶ πᾶσαι βίβλοι εἰς τὴν Ἑλλάδα φωνὴν μετημείφθησαν ὑπὸ τῶν οβ' ἑρμηνέων, ἀρχιερατεύοντος τηνικαῦτα Ἐλεαζάρου. Καὶ Δημήτριος δὲ ὁ Φαληρεὺς τηνικαῦτα ἤκμαζε καὶ τῷ πράγματι τούτῳ συνεσπούδασεν.*

Πτολεμαῖος ὁ Εὐεργέτης ἐβασίλευσεν ἔτη κε'.

20 *Πτολεμαῖος ὁ Φιλοπάτωρ ἐβασίλευσεν ἔτη ιζ'.*

Πτολεμαῖος ὁ Ἐπιφανὴς ἐβασίλευσεν ἔτη κδ'.

Πτολεμαῖος ὁ Φιλομήτωρ ἐβασίλευσεν ἔτη λε'. Ἐπὶ τούτου Ἀντίοχος ὁ τῆς Συρίας βασιλεὺς τὴν Ἰουδαίαν παραλαβὼν τὰ ἔθιμα καὶ νόμιμα τῶν Ἑβραίων συγχέει καὶ ἀνατρέπει· ὅτε δὴ 25 *καὶ τοὺς ἑπτὰ Μακκαβαίους μὴ πεισθέντας παραβῆναι τὰ πάτρια μετὰ καὶ τῆς ἐκείνων μητρὸς ἀνηλεῶς ἀποσφάττει, προαπεκτονὼς ἤδη καὶ* (254 v.) *Ἐλεάζαρον τὸν ἀρχιερέα.*

Πτολεμαῖος ὁ δεύτερος Εὐεργέτης ἐβασίλευσεν ἔτη κθ'.

Πτολεμαῖος ὁ Φούσκων ἐβασίλευσεν ἔτη ιη'.

30 *Πτολεμαῖος ὁ καὶ Ἀλέξανδρος ἐβασίλευσεν ἔτη ι'.*

Πτολεμαῖος ὁ καὶ Διόνυσος ἐβασίλευσεν ἔτη κθ'.

Κλεοπάτρα θυγάτηρ τοῦ Πτολεμαίου τούτου ἐβασίλευσε τὰ πάντα ἔτη κβ'. Τῷ δὲ τετάρτῳ ἔτει τῆς βασιλείας αὐτῆς κατελύθη πάλιν ἐν Ῥώμῃ ἡ ὑπατεία καὶ γέγονεν αὖθις μοναρχία 35 *Γαΐου Ἰουλίου Καίσαρος πρώτου τὴν ἀρχὴν ἑαυτῷ περιθεμένου·*

---

6. *μικρὰς τινὸς*. 14. *Π* ist stark verblasst, ebenso 21. 31. 17. *Φαλιρεὺς*. 29. *Π* ist kaum zu erkennen.

ὅτε δὴ καὶ Διόδωρος ἤκμαζεν ὁ ἱστορικός. Τῆς γοῦν Κλεοπάτρας τέσσαρα μόνα ἔτη ἐπὶ τῆς βασιλείας καθαρῶς λογιστέον, τὰ δὲ ἐπίλοιπα ιη', τὰ ἀπὸ τῆς ἀναρρήσεως τοῦ Ἰουλίου Καίσαρος, εἰ καὶ αὐτὴ ἐν τῇ οἰκείᾳ χώρᾳ ἐβασίλευεν, ἀλλὰ τῇ μείζονι βασιλείᾳ προσθετέον, τῇ καθ' ὅλης τῆς οἰκουμένης 5 ἐξαπλωθείσῃ καὶ αὐτὴν Αἴγυπτον καὶ πάντα ὑποταξάσῃ, λέγω δὴ τῇ Ῥωμαϊκῇ τῇ πασῶν τῶν πώποτε βασιλειῶν ἐπικρατεστέρᾳ καὶ μέχρι καὶ νῦν σὺν θεῷ διαρκούσῃ.

Γάϊος Ἰούλιος Καῖσαρ πρῶτος ἐμονάρχησε Ῥωμαίων, καταλύσας τὴν ὑπατείαν, ταῦτα δὲ εἰπεῖν, καὶ πάσης τῆς οἰκουμένης 10 καὶ ἐκράτησεν ἔτη δ' μῆνας ζ'. Ἐκ τούτου δὲ καὶ οἱ λοιποὶ βασιλεῖς Καίσαρες ἐκαλοῦντο.

Ὀκτάβιος Αὔγουστος Καῖσαρ ἐβασίλευσεν ἔτη νς'. Οὗτος τῷ ιδ' ἔτει τῆς βασιλείας αὐτοῦ ἀνελὼν Κλεοπάτραν τελείως ἔσβεσε τὴν Αἰγυπτίων βασιλείαν, κρατήσασαν ἀπὸ Πτολεμαίου 15 τοῦ Λάγου τὰ πάντα ἔτη σϛε', καὶ γέγονεν ἔκτοτε καὶ ἡ Αἴγυπτος μετὰ καὶ τῶν ἄλλων πασῶν τῆς οἰκουμένης χωρῶν Ῥωμαίοις ὑπόφορος. Ἐπὶ τούτου τῆς βασιλείας εἰς πέρας ἐκβαίνει καὶ ἡ περὶ τῶν Χριστῶν ἡγουμένων προφητεία τοῦ Δανιήλ, ἀρξαμένων μὲν ἀπὸ τῆς ἐκ Βαβυλῶνος εἰς Ἱερουσαλὴμ ἐπανόδου, παυσαμέ- 20 νων δὲ εἰς τὸν τελευταῖον Ὑρκανόν, ἐν ἔτει ζ' τῆς τοῦ Αὐγούστου Καίσαρος βασιλείας καὶ διαρκεσάντων τὰ ὅλα ἔτη υπγ', ὁπόσα δηλαδὴ καὶ ὁ δηλωθεὶς προφήτης Δανιὴλ προεθέσπισεν. Οὗτος δὲ ὁ Δανιὴλ νέος μὲν κομιδῇ αἰχμάλωτος ἀπήχθη μετὰ τοῦ λοιποῦ λαοῦ τῶν Ἰουδαίων εἰς Βαβυλῶνα. Ἐν δὲ 25 τῷ ἐκεῖσε διάγειν προφητεύων καὶ τὰ τῶν βασιλέων διαλύων ὀνείρατα καὶ τὰ ἀποβησόμενα τούτοις διαρρήδην προλέγων, ναὶ μὴν καὶ τεράστια ἔργα ἐπιδεικνὺς ἅμα καὶ τοῖς τρισὶ παισὶν Ἀνανίᾳ, Ἀζαρίᾳ καὶ Μισαήλ, τοῖς ἀπὸ τῆς μεγάλης φλογὸς παραδόξως διασωθεῖσιν, ἐν μεγίστῃ κατέστη τιμῇ καὶ αἰδοῖ 30 παρά τε αὐτῷ τῷ Ναβουχοδονόσορ καὶ τοῖς ἐφεξῆς βασιλεῦσι καὶ μάλιστα μετὰ τὸ ἀνιμηθῆναι ἀπὸ τοῦ λάκκου σῶος καὶ ἀβλαβής, εἰς ὃν ἐνεβλήθη ὡς αὐτίκα διαφθαρησόμενος ὑπὸ τῶν ἐκεῖσε διατρεφομένων ἀγρίων λεόντων· ἀλλ' ἐπὶ τὸ συμπέρασμα τοῦ προτεθέντος σκοποῦ ὁ λόγος ἐπαναχθήτω. Πεπλήρωται γὰρ 35

---

1. ἱστορηκός, γοῦν. 9. Καίσαρ, ebenso 13. 10. ταυτ̀ (= ταυτὸν) wohl Schreibfehler für ταῦτα.

ἡ τούτου τοῦ Δανιὴλ προφητεία ἐπὶ τοῖς Χριστοῖς ἡγουμένοις, παυσαμένοις κατὰ τὸν ὑπ' ἐκείνου προρρηθέντα καιρὸν, ἐπειδὴ τηνικαῦτα ἤγουν ἐν ἀρχῇ τοῦ ὀγδόου ἔτους τῆς βασιλείας Αὐγούστου Καίσαρος βασιλεὺς τῶν Ἰουδαίων ὑπ' ἐκείνου προχειρί-
5 ζεται Ἡρώδης, ὃς δὴ καὶ ἐβασίλευσεν ἐν Ἱεροσολύμοις ἔτη λζ'. Ἐν δὲ τῷ μβ' ἔτει τῆς βασιλείας Αὐγούστου Καίσαρος, ἀπὸ δὲ κτίσεως κόσμου ἔτει ,εφς', κατὰ τὰς ἀκριβεστάτας ἀναγραφὰς πρὸ η' καλανδῶν Ἰαννουαρίων, τουτέστι Χοιὰκ κθ' ἤγουν Δεκεμβρίου κε', ὁ κύριος καὶ θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς
10 γεννᾶται τὸ κατὰ σάρκα (255 r.) ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἄνθρωπος γεγονὼς διὰ ἄκραν φιλανθρωπίαν, ἵνα θεώσῃ τοὺς ἀνθρώπους ἡμᾶς καὶ πάντα τὰ ἀνθρώπινα δίχα μέντοι τῆς ἁμαρτίας, δι' ὅλων λγ' ἐτῶν ποιήσας τε καὶ παθὼν καὶ διδάξας καὶ ὑποδείξας
15 τοῖς ἀνθρώποις τὴν τῆς σωτηρίας ὁδόν, τέλος καὶ σταυρωθῆναι δι' ἡμᾶς καταδέχεται· καὶ θνήσκει πάλιν κατὰ τὸ ἀνθρώπινον καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀνίσταται καὶ εἰς οὐρανοὺς ἀναλαμβάνεται, ὅθεν καὶ καταβέβηκε· μαθηταὶ αὐτοῦ ιβ' ἰδιῶται καὶ πένητες μετὰ τὴν ἐκείνου τοῦ σωτῆρος ἐνθένδε ἀνάληψιν καὶ τὴν τοῦ
20 ἁγίου πνεύματος εἰς αὐτοὺς ἐπιφοίτησιν εἰς τὰ τῆς οἰκουμένης ἁπάσης διασπαρέντες πέρατα καὶ πανταχοῦ τὸ εὐαγγέλιον κηρύξαντες τοῦ Χριστοῦ τῇ ἐκείνου συνεργίᾳ καὶ εὐοδώσει· τούς τε σοφοὺς τοῖς λόγοις ὑπερηκόντισαν καὶ τοὺς δυνάτους ἐν ἔργοις παραδόξοις καὶ σημείων ἐπιδείξεσι κατέπληξαν καὶ
25 ὑπέταξαν καὶ βασιλέων περιεγένοντο καὶ ἐθνῶν ἐκυρίευσαν, καὶ ἁπλῶς γῆν ὁμοῦ καὶ θάλασσαν σύμπασαν τῇ οἰκείᾳ διδασκαλίᾳ ὑπηγάγοντο καὶ συμπεριέλαβον οἱ ἄραβδοι καὶ ἀχίτονες μόνῃ τῇ ἐπικλήσει θαρροῦντες καὶ κατορθοῦντες τοῦ ἀποστείλαντος τούτους θεοῦ. Καὶ αὕτη ἡμῶν ἡ πίστις τῶν Χριστιανῶν ἔκτοτε
30 καὶ εἰς δεῦρο αὐξανομένη τε καὶ πλατυνομένη καὶ ἐπὶ πλέον ὁσημέραι κραταιουμένη τῇ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν χάριτι.

Τιβέριος ἐβασίλευσεν ἔτη κγ'. Τούτου ἐν μὲν τῷ ιε' τῆς βασιλείας ἔτει ἤρξατο ὁ Ἰησοῦς διδάσκειν ἐν τῷ μέσῳ τῶν Ἰουδαίων καὶ εὐαγγελίζεσθαι αὐτοῖς τὴν τοῦ πατρὸς αὐτοῦ
35 βασιλείαν, τριάκοντα ἔτη ἤδη γεγονὼς τὴν ἀνθρωπίνην ζωὴν καὶ ὑπὸ Ἰωάννου τηνικαῦτα βαπτισθείς. Ἐν δὲ τῷ ιη' ἔτει πάλιν τῆς ἐκείνου βασιλείας καὶ τριακοστῷ τρίτῳ τῆς οἰκείας

---

1. Χρηστοῖς. 12. θεώση. 30. τὲ καὶ.

ἡλικίας τὸν διὰ σταυροῦ θάνατον ὡς ἄνθρωπος κατεδέξατο· τριήμερος δὲ πάλιν ὡς θεὸς ἀνέστη τοῦ τάφου καὶ πάλιν ἐνεφανίσθη μετὰ τοῦ σώματος τοῖς οἰκείοις μαθηταῖς διαφόρως· εἶτα καὶ ὁρώντων αὐτῶν ἀνελήφθη εἰς τοὺς οὐρανοὺς καὶ βασιλεύει εἰς τὸν αἰῶνα ὡς προαιώνιος καὶ ποιητὴς αἰώνων. 5

Γάϊος ἐβασίλευσεν ἔτη η'.

Κλαύδιος ἐβασίλευσεν ἔτη ιδ'.

Νερῶν ἐβασίλευσεν ἔτη ιγ'. Οὗτος διωγμὸν κατὰ Χριστιανῶν ἀνεγείρας ἐτιμωρήσατο μὲν καὶ ἑτέρους οὐκ ὀλίγους, ἀνεῖλε δὲ καὶ τοὺς κορυφαίους τῶν ἀποστόλων Πέτρον καὶ 10 Παῦλον ἐν αὐτῇ τῇ Ῥώμῃ ἀθλήσαντας.

Γάλβας ἐβασίλευσεν ἔτη μῆνας γ'.

Ὄθων ἐβασίλευσεν μῆνας γ'.

Οὐϊτέλιος ἐβασίλευσεν

Οὐεσπασιανὸς σὺν τῷ υἱῷ Τίτῳ ἐβασίλευσεν ἔτη θ'. 15 Τούτου τῷ β' ἔτει τῆς βασιλείας ἡ τελευταία ἅλωσις τοῖς Ἱεροσολύμοις καὶ παντελὴς φθορὰ τῆς πόλεως καὶ τῶν ἐν αὐτῇ ὑπὸ Τίτου ἐπισυνέβη μετὰ ἔτη μς' τῆς τοῦ κυρίου ἀναλήψεως, διαρκεσάσης τῆς ὑστέρας ἐν αὐτῇ βασιλείας τῆς ἀπὸ Ἡρώδου τοῦ πρώτου βασιλέως ἔτη τὰ πάντα ρε'. 20

Τίτος υἱὸς Οὐεσπασιανοῦ ἐβασίλευσεν ἔτη γ'.

Δομετιανὸς υἱὸς Οὐεσπασιανοῦ καὶ αὐτὸς ἐβασίλευσεν ἔτη ιδ'. Ἐπὶ τούτου Ἀπολλώνιος Τυανεὺς ὁ πολὺς τὰ μαγικὰ ἐγνωρίζετό τε καὶ ἐθαυμάζετο. Καὶ οὗτος ὁ βασιλεὺς διωγμὸν κατὰ Χριστιανῶν ἐκίνησε καὶ τὸν ἀπόστολον καὶ θεόλογον Ἰωάννην 25 εἰς Πάτμον τὴν νῆσον ἐξώρισεν, ὃς μετὰ τὴν τοῦ Δομετιανοῦ τελευτὴν πάλιν ἐπανῆλθεν εἰς Ἔφεσον καὶ παρέμεινεν ἐκεῖσε μέχρι τῆς Τραϊανοῦ βασιλείας· ἔκτοτε δὲ μετάρσιον καὶ αὐτὸν ζῶντα ἐνθένδε λόγος γεγενῆσθαι.

Νερούας ἐβασίλευσεν ἔτος α', μῆνας δ'. 30

Τραϊανὸς ἐβασίλευσεν (255 v.) ἔτη ιθ'. Ἐπὶ τούτου Ἰγνάτιος ὁ θεοφόρος ἐπὶ Ῥώμης ἐμαρτύρησε, θηρίοις βορὰ παραδοθείς.

Ἀδριανὸς ἐβασίλευσεν ἔτη κα'. Καὶ οὗτος καθελὼν τελείως Ἱεροσόλυμα Αἰλίαν τὴν πόλιν ὠνόμασεν. Ἐπὶ τούτου Πλούτ-

---

7. *Καύδιος*. 12. Nach ἐβασίλευσεν ist ἔτη und μῆνας γ' rot durchgestrichen. 13. Die Notiz über Otho ist am Rande rot ergänzt. 14. *Οὐϊτέλιος*, ϊ ist rot eingetragen, Zahl der Monate fehlt. 21. *Τῖτος*.

αρχος φιλόσοφος ὁ Χαιρωνεὺς ἐγνωρίζετο καὶ Φλέγων ὁ χρονογράφος.

Τίτος Ἀντωνῖνος ὁ ἐπικληθεὶς Εὐσεβὴς σὺν τοῖς οἰκείοις παισὶν Αὐρηλίῳ, Οὐήρῳ καὶ Λουκίῳ ἐβασίλευσεν ἔτη κβʹ.

5 Μάρκος Ἀντωνῖνος Αὐρήλιος ἐβασίλευσεν ἔτη ιθʹ. Ἐπὶ τούτου Ἰουστῖνος ὁ φιλόσοφος ἐμαρτύρησεν. Κατὰ τούτους τοὺς καιροὺς Ὀππιανός τε ὁ τὴν ἁλιευτικὴν ποίησιν συγγραψάμενος καὶ Σέξτος ἤκμαζον.

Κόμμοδος υἱὸς Μάρκου ἐβασίλευσεν ἔτη ιγʹ.

10 Περτίναξ Ἐλύϊος ἐβασίλευσε μῆνας ἕξ.

Σεβῆρος Σεπτίμιος ἐβασίλευσεν ἔτη ιζʹ. Ἐπὶ τούτου Λεωνίδης ὁ πατὴρ Ὠριγένους τοῦ κακόφρονος ἐν Ῥώμῃ ἐμαρτύρησεν καὶ Ἱππόλυτος ὁ Ῥωμαῖος συγγραφεὺς καὶ Γρηγόριος ὁ θαυματουργὸς [ἤκμαζον]. Τότε καὶ Ἀφρικανὸς ὁ συγγραφεὺς ἐγνωρίζετο.

15 Ἀντωνῖνος υἱὸς Σεβήρου ὁ ἐπίκλην Καράκαλος ἐβασίλευσεν ἔτη ζʹ.

Μακρῖνος ἐβασίλευσεν ἔτος ἕν.

Ἀντωνῖνος ὁ καλούμενος Ἡλιογάβαλος ἐβασίλευσεν ἔτη γʹ.

Ἀλέξανδρος ὁ Μαμαίας ἐβασίλευσεν ἔτη ιγʹ.

20 Μαξιμῖνος ἐβασίλευσεν ἔτη γʹ.

Γορδιανὸς ἐβασίλευσεν ἔτη ϛʹ.

Φίλιππος σὺν υἱῷ ὁμωνύμῳ ἐβασίλευσεν ἔτη ἕξ. Οὗτος λέγεται μόνος τῶν τῆς Ῥώμης βασιλέων τὰ Χριστιανῶν σεβασθῆναί τε καὶ προελέσθαι. Τῷ δὲ τετάρτῳ ἔτει τῆς τούτου βασιλείας

25 πληρωθέντος ἔτους χιλιοστοῦ ἀπὸ κτίσεως Ῥώμης τῆς ὑπὸ τοῦ Ῥωμύλου ἑώρτασαν οἱ Ῥωμαῖοι μεγίστην θεαμάτων παρασκευήν.

Δέκιος ἐβασίλευσεν ἔτος αʹ. Οὗτος διωγμὸν κατὰ Χριστιανῶν ἀνεγείρας, πολλοὺς τῶν εὐσεβῶν τοὺς μὲν δι' ἑαυτοῦ, τοὺς δὲ διὰ τῶν κατὰ πάσας χώρας ἀρχόντων τῷ διὰ Χριστὸν μαρ-

30 τυρίῳ ἐτελείωσεν, ὁπηνίκα καὶ ὁ ἅγιος Βαβύλας ἐν Ἀντιοχείᾳ ἤθλησε καὶ ὁ ἅγιος Κυπριανός.

Γάλλος καὶ Βολοσιανὸς ἐβασίλευσαν ἔτη γʹ.

Οὐαλλεριανὸς καὶ Γαλιῆνος ἐβασίλευσαν ἔτη ιεʹ.

---

3. Τῖτος Ἀντώνιος. 4. Αὐριλίῳ, Οὐίρῳ. 7. Ὁππιανὸς τὲ. 9. Κόμοδος. 10. ἔτη ist vor μῆνας ausgestrichen. 11. Σεπτιμίος. 14. ἤκμαζον nach Nicephorus ergänzt. 15. 18. Ἀντώνιος. 22. Φιλιππος. 23. σεβασθῆναι τὲ καὶ. 29. πᾶσας. 33. Γαλιῖνος.

Κλαύδιος ἐβασίλευσεν ἔτος α'. Ἐπὶ τούτου Πορφύριος καὶ Πλωτῖνος ἄμφω φιλόσοφοι ἤκμαζον.

Αὐρηλιανὸς ἐβασίλευσεν ἔτη ς'.

Τάκητος καὶ Φλωριανὸς ἐβασίλευσαν μῆνας θ'.

Πρόβος ἐβασίλευσεν ἔτη ς'. 5

Κάρος σὺν παισὶ Καρίνῳ καὶ Νουμεριανῷ ἐβασίλευσεν ἔτη β'.

Διοκλητιανὸς καὶ Μαξιμιανὸς ὁ Ἑρκούλιος ἐβασίλευσαν ἔτη κ'. Οὗτοι παρὰ πάντας τοὺς πρώην αὐτοκράτορας κατὰ Χριστιανῶν ἐξεμάνησαν, καὶ ὅσῳ πληθυνομένους αὐτοὺς ἑώρων καὶ κραταιουμένους μειζόνως τῇ εὐσεβείᾳ καὶ τῇ πίστει τῇ εἰς Χριστόν, τοσούτῳ 10 *πρὸς τὴν κατ' ἐκείνων φορὰν καὶ τοὺς διωγμοὺς καὶ τὰς σφαγὰς ἠρεθίζοντο. Ἄπειρον γοῦν πλῆθος τῶν Χριστιανῶν δι' ὅλου τοῦ χρόνου τῆς βασιλείας αὐτῶν ἐν πάσῃ χώρᾳ καὶ πόλει ἀνηλεῶς καὶ ἀπανθρώπως ἐσφάττετο διὰ μόνην τὴν εἰς Χριστὸν πίστιν καὶ εὐσέβειαν. Οἱ πλείους γὰρ καὶ ἐπισημότεροι τῶν παρ' ἡμῖν* 15 *γνωριζομένων καὶ τιμωμένων ἁγίων μαρτύρων τοῦ καιροῦ ἐκείνου καὶ τῆς τούτων τῶν βασιλέων ὠμότητος ἔργον γεγόνασιν.*

Κώνστας ὁ ἐπιλεγόμενος Χλωρός, ὁ πατὴρ τοῦ ἁγίου καὶ μεγάλου Κωνσταντίνου σὺν Μαξιμιανῷ Γαλερίῳ ἐβασίλευσεν ἔτη δ'. Προεβάλοντο δὲ οὗτοι καὶ ἑτέρους βασιλεῖς ἔτι ζῶντες, 20 *Κώνστας μὲν τὸν ἴδιον υἱὸν Κωνσταντῖνον, Μαξιμιανὸς δὲ* (256 r.) *Μαξιμῖνον καὶ Σεβῆρον. Σεβήρου δὲ συντόμως ἀναιρεθέντος ὑπὸ τῶν στρατιωτῶν ἀντ' αὐτοῦ πάλιν Λικίνιον προχειρίζεται βασιλέα, ὃς δὴ καὶ αὐτὸς κατὰ τῆς χριστιανικῆς πίστεως λυσσῶν καὶ θυμομαχῶν οὐδενὸς ἔλαττον τῶν πρὸ αὐτοῦ, εἰ μὴ καὶ μᾶλλον* 25 *σφοδρότερον, πολλοὺς καὶ οὐκ εὐαριθμήτους ἀπετέλεσε μάρτυρας. Πλὴν οὗτοι πάντες οἱ βασιλεῖς ἐσβέσθησαν πάλιν ταχέως ἀναιρεθέντες, καὶ περιέστη τὸ πᾶν κράτος καθαρῶς εἰς μόνον τὸν Κωνσταντῖνον.*

Κωνσταντῖνος ὁ μέγας ὁ ἅγιος ὁ πρῶτος καὶ κτήτωρ καὶ 30 *βασιλεὺς Κωνσταντινουπόλεως ἐβασίλευσεν ἔτη λγ'. Οὗτος ὑπὸ θεοῦ προσκληθεὶς κατὰ τὸν ἀπόστολον Παῦλον διὰ τῆς ἐν οὐρανῷ τοῦ σταυροῦ ἐνδείξεως καὶ τοῦ νικᾶν ἐν τούτῳ προδηλώσεως· κἀντεῦθεν εἰς τὴν τοῦ Χριστοῦ ἐπίγνωσιν ὁδηγηθεὶς καὶ μετατεθεὶς*

---

3. *Αὐριλλιανός*, das erste λ ist getilgt. 4. *Τακῆτος*, der Circumflex mit roter Tinte. 7. *Ἑρκούλιος*, wie es scheint, ist nachverbessert von derselben Hand. 12. *γοῦν*. 22. *ἀναιρεθέντος*, das ρ ist verwischt.

ὁλοψύχως εἰς τὴν εὐσέβειαν ἐμελέτησε μεταθεῖναι καὶ τὸ τῆς βασιλείας ἀξίωμα εἰς ἕτερον τόπον παρὰ τὴν Ῥώμην, ἵνα μὴ ἐμποδὼν αὐτῷ κατασταίη πρὸς τὸν καινισμὸν τῆς θρησκείας καὶ τὴν τῆς εὐσεβείας παγίωσιν ἡ μακρὰ τῆς Ἑλληνικῆς δυσσεβείας
5 συνήθεια καὶ τὸ πολὺ καὶ ἀγυρτῶδες καὶ ἀπαίδευτον πλῆθος ἔτι τῇ ἀπιστίᾳ δεδουλωμένον, καὶ ἅμα ὡς ἐπὶ καινῇ καὶ καθαρᾷ καὶ λαμπρᾷ τῇ τῆς εὐσεβείας καὶ ὀρθῆς πίστεως ὑποδοχῇ καινὴν καὶ τὴν στολὴν καὶ ἀναλόγως περικαλλῆ ἡ βασιλεία ἐπενδύσηται· κτίζει τοιγαροῦν τὸ Βυζάντιον εὐρύνας ὅτι μάλιστα τὴν πόλιν,
10 καὶ ὡς ἐνῆν μὴ ἐκπεπτωκέναι τοῦ ἀσφαλοῦς κοσμήσας τε καὶ λαμπρύνας τειχέων περιβολαῖς ὀχυρῶν καὶ ναῶν ἀνεγέρσεσι μεγίστων καὶ περικαλλεστάτων καὶ τοῖς ἄλλοις πᾶσι μεγαλουργήμασιν, ἃ μέχρι καὶ νῦν θεοῦ ἐπισκοπῇ διαμένοντα ὁρᾶται παρὰ παντὸς καὶ θαυμάζεται. Μετονομάζει δὲ καὶ ταύτην ἐξ ἑαυτοῦ
15 Κωνσταντινούπολιν καὶ νέαν Ρώμην. Τόν τε τῆς βασιλείας θρόνον εἰς τὸ ἑξῆς ταύτῃ ἐγκαθιδρύει. Καὶ αὐτὸς ἐν αὐτῇ βασιλεύων διατετέλεκεν. Ἔτος δὲ συνήγετο ἀπὸ κτίσεως κόσμου ἄχρι τῆς βασιλείας Κωνσταντίνου τούτου τοῦ μεγάλου καὶ τῆς κτίσεως Κωνσταντινουπόλεως καὶ εἰς τὸ βασιλικὸν ἀξίωμα
20 ἀναγωγῆς πεντακισχιλιοστὸν ὀκτακοσιοστὸν τριακοστὸν ἕκτον. Τῷ δὲ εἰκοστῷ ἔτει τῆς τούτου βασιλείας γέγονεν ἡ πρώτη ἁγία σύνοδος τῶν τριακοσίων ιη' τιμίων πατέρων ἐν Νικαίᾳ τῆς Βιθυνίας, ὑφ' ὧν καθῃρέθη μὲν καὶ ἀνεθεματίσθη Ἄρειος καὶ οἱ τούτου ὁμόφρονες, ὅσοι δηλαδὴ τὸν υἱὸν καὶ λόγον τοῦ
25 θεοῦ τὸν καὶ δι' ἡμᾶς ἄνθρωπον γεγονότα οὐχ ὁμοούσιον ἐδόξαζον τῷ πατρὶ καὶ ὁμόθεον, ἀλλ' εἰς κτίσμα καὶ δουλικὴν τάξιν ἐτόλμων ὑποβιβάζειν αὐτόν· σύμβολον δὲ ἀκραιφνὲς τῆς ἡμετέρας πίστεως ἔγγραφον ἐξετέθη καὶ τῇ ἐκκλησίᾳ παρεδόθη ψάλλεσθαι εἰς τὸ διηνεκές. Τελευτᾷ δὲ ὁ μέγας Κωνσταντῖνος
30 ὁ βασιλεὺς καταλιπὼν διαδόχους τῆς ὅλης βασιλείας τρεῖς ἰδίους υἱούς, Κωνσταντῖνον ὁμώνυμον ἑαυτῷ τῆς πρεσβυτέρας Ῥώμης, Κώνσταντα τῆς νέας Ῥώμης, Κωνστάντιον τῆς Ἀντιοχείας καὶ τῶν ἐκεῖσε μερῶν. Ἀλλὰ τῶν δύο πάλιν ἐκλελοιπότων ταχέως εἰς μόνον τὸν Κωνστάντιον τὸ σύμπαν περιέστη κράτος.

35 Κωνστάντιος υἱὸς Κωνσταντίνου τοῦ μεγάλου πρῶτον μὲν μετὰ τῶν δηλωθέντων δύο ἀδελφῶν αὐτοῦ, ἔπειτα δὲ μόνος

---

10. κοσμήσας τὲ. 15. βασιλε(ί)ας. 21. Statt ἔτει steht ἐκτῷ (ἔκτῳ). 26. εἰ. 35. *K* rot verblasst.

